ἀκριβείᾳ πάντας ἀνθρώπους ἀπολέλοιπεν· ἀλλ' οὐ διὰ
B τοῦτο τυφλὸς οὐδ' ἀδύνατος οὐδ' ἄωτος ὁ ἄνθρωπός ἐστιν· ἀλλὰ καὶ ⟨θέομεν εἰ καὶ βραδύτερον ἐλάφων, καὶ βλέπομεν εἰ καὶ⟩ χεῖρον ἱεράκων, ἰσχύος τε καὶ μεγέθους ἡ φύσις ἡμᾶς οὐκ ἀπεστέρησεν, καίτοι τὸ μηδὲν ἐν τούτοις πρὸς ἐλέφαντα καὶ κάμηλον ὄντας. οὐκοῦν ὁμοίως μηδὲ τὰ θηρία λέγωμεν, εἰ νωθρότερον φρονεῖ καὶ κάκιον διανοεῖται, μὴ διανοεῖσθαι μηδὲ φρονεῖν ὅλως μηδὲ κεκτῆσθαι λόγον, ἀσθενῆ δὲ κεκτῆσθαι καὶ θολερόν, ὥσπερ ὀφθαλμὸν ἀμβλυώττοντα καὶ τεταραγμένον. εἰ δὲ μὴ πολλὰ τοὺς νεανίσκους αὐτίκα δὴ μάλα προσεδόκων τὸν μὲν ἐκ γῆς τὸν δ' ἐκ θαλάττης ἐνταῦθα συνερανίσειν,
C φιλολόγους καὶ φιλογραμμάτους ὄντας, οὐκ ἂν ἀπεσχόμην σου μυρία μὲν εὐμαθείας μυρία δ' εὐφυΐας παραδείγματα θηρίων διηγούμενος, ὧν ἄμαις καὶ σκάφαις ἡμῖν ἐκ τῶν βασιλικῶν ἀρύσασθαι θεάτρων ἡ καλὴ Ῥώμη παρέσχηκε. ταῦτα μὲν οὖν ἐκείνοις νεαρὰ καὶ ἄθικτα πρὸς τὸν λόγον ἐγκαλλωπίσασθαι καταλείπωμεν· βούλομαι δὲ μικρόν τι μετὰ σοῦ σκέψασθαι καθ' ἡσυχίαν. οἶμαι γὰρ ἰδίαν τινὰ μέρους ἑκάστου καὶ δυνάμεως φαυλότητα καὶ πήρωσιν εἶναι καὶ νόσον, ὥσπερ ὀφθαλμοῦ τυφλότητα καὶ σκέλους χωλότητα καὶ ψελλότητα γλώσσης, ἄλλου δὲ μηδενός· οὐ γάρ ἐστι τυφλότης μὴ πεφυκότος
D ὁρᾶν οὐδὲ χωλότης μὴ πεφυκότος βαδίζειν, ψελλόν τε τῶν ἀγλώσσων ἢ τῶν ἀναύδων φύσει τραυλὸν οὐδὲν ἂν προσείποις· οὐκοῦν οὐδὲ παραπαῖον ἢ παραφρονοῦν ἢ μαινόμενον, ᾧ μὴ τὸ φρονεῖν καὶ διανοεῖσθαι καὶ λογίζεσθαι κατὰ φύσιν ὑπῆρχεν· οὐ γάρ ἐστιν ἐμπαθὲς γενέσθαι μὴ κεκτημένον δύναμιν, ἧς τὸ πάθος ἢ στέρησις ἢ πήρωσις ἤ τις ἄλλη κάκωσις ἦν. ἀλλὰ μὴν ἐντετύχηκάς